www.e-rara.ch

# Hē palaia diathēkē kata tous hebdomēkonta

## Grabe, Johannes Ernst

## Tiguri Helvetiorum, 1730-1732

**Zentralbibliothek Zürich**

Shelf Mark: III A 647 l G

Persistent Link: https://doi.org/10.3931/e-rara-16821

Barouch.

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΒΑΡΟΥΧ.

## ΚΕΦΑΛΑΙΟΝ Α'.

ΚΑΙ οὗτοι οἱ λόγοι τοῦ βιβλίου, οὓς ἔγραψε Βαροὺχ υἱὸς Νηρίου, υἱοῦ Μαασαίου, υἱοῦ Σεδεκίου, υἱοῦ Σαδαίου, υἱοῦ Χελκίου, ἐν Βαβυλῶνι,

2. ἐν τῷ ἔτει τῷ πέμπτῳ, ἐν ἑβδόμῃ τοῦ μηνὸς, ἐν τῷ καιρῷ, ᾧ ἔλαβον οἱ Χαλδαῖοι τὴν Ἱερουσαλὴμ, καὶ ἐνέπρησαν αὐτὴν ἐν πυρί.

3. Καὶ ἀνέγνω Βαροὺχ τοὺς λόγους τοῦ βιβλίου τούτου ἐν ὠσὶν Ἰεχονίου, υἱοῦ Ἰωακεὶμ βασιλέως Ἰούδα, καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ τῶν ἐρχομένων πρὸς τὴν βίβλον,

4. καὶ ἐν ὠσὶ τῶν δυνατῶν, καὶ υἱῶν
τοῦ βασιλέως τῶν βασιλέων, καὶ ἐν ὠσὶ τῶν πρεσβυτέρων, καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν πάντων τῶν κατοικούντων ἐν Βαβυλῶνι ἐπὶ τοῦ ποταμοῦ Σούδ.

5. Καὶ ἔκλαιον, καὶ ἐνήστευον, καὶ ηὔχοντο εὐχὰς ἔναντι Κυρίου,

6. καὶ συνήγαγον ἀργύριον, καθὰ ἑκάστου ἠδύνατο ἡ χείρ.

7. Καὶ ἀπέστειλαν εἰς Ἱερουσαλὴμ πρὸς Ἰωακεὶμ υἱὸν Χελκίου, υἱοῦ Σαλὼμ, τὸν ἱερέα, καὶ πρὸς τοὺς ἱερεῖς, καὶ πρὸς πάντα τὸν λαὸν, τοὺς εὑρεθέντας μετ' αὐτοῦ εἰς Ἱερουσαλὴμ,

8. ἐν τῷ λαβεῖν αὐτὸν τὰ σκεύη οἴκου Κυρίου, τὰ ἐξενεχθέντα ἐκ τοῦ ναοῦ, ἀποστρέψαι εἰς γῆν Ἰούδα, τῇ δεκάτῃ τοῦ Σιουὰν, σκεύη ἀργυρᾶ, ἃ ἐποίησε Σεδεκίας υἱὸς Ἰωσία βασιλεὺς Ἰούδα,

9. μετὰ τὸ ἀποικίσαι Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος τὸν Ἰεχονίαν, καὶ τοὺς ἄρχοντας, καὶ τοὺς δεσμώτας, καὶ τοὺς δυνατοὺς, καὶ τὸν λαὸν τῆς γῆς ἀπὸ Ἱερουσαλὴμ, καὶ ἤγαγεν αὐτοὺς εἰς εἰσήγαγεν Βαβυλῶνα·

10. καὶ εἶπαν, ἰδοὺ ἀπεστείλαμεν πρὸς ὑμᾶς ἀργύριον, καὶ ἀγοράσατε τοῦ ἀργυρίου ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας, καὶ λίβανον, καὶ ποιήσατε μάννα, καὶ ἀνοίσατε ἐπὶ τὸ θυσιαστήριον Κυρίου τοῦ Θεοῦ ὑμῶν,

11. καὶ προσεύξασθε περὶ τῆς ζωῆς Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, καὶ εἰς ζωὴν Βαλτάσαρ υἱοῦ αὐτοῦ, ἵνα ὦσιν αἱ ἡμέραι αὐτῶν, ὡς αἱ ἡμέραι τοῦ αὐτοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς.

12. Καὶ

ΒΑΡΟΥΧ. CAP. I. v. 1. Σαδαίου) ασαδίου. v. 2. ἑβδόμῃ) ἐν ἑβδόμῃ. v. 4. τοῦ βασιλέως) τῶν βασιλέων. ibid. μεγάλου αὐτῶν) αὐτῶν deest. ib. ἐπὶ τοῦ ποταμοῦ) absque articulo. v. 5. εὐχὰς ἔναντι) ἐναντίον. v. 6. καθὰ) καθὸ. v. 7. εἰς Ἱερουσαλὴμ) ἐν ἱερουσαλήμ. v. 8. Σιουὰν) σειβὰλ. v. 9. εἰσήγαγεν αὐτοὺς) ἤγαγεν αὐτόν. v. 10. Θεοῦ ὑμῶν) θεοῦ ἡμῶν. v. 11. ἡμέραι αὐτοῦ) ἡμέραι αὐτῶν.

12. Καὶ δώσει Κύριος ἰσχὺν ἡμῖν, καὶ φωτίσει τοὺς ὀφθαλμοὺς ἡμῶν, καὶ ζησόμεθα ὑπὸ τὴν σκιὰν Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, καὶ ὑπὸ τὴν σκιὰν Βαλτάσαρ υἱοῦ αὐτοῦ, καὶ δουλεύσομεν αὐτοῖς ἡμέρας πολλὰς καὶ εὑρήσομεν χάριν ἐναντίον αὐτῶν.

13. Καὶ προσεύξασθε περὶ ἡμῶν πρὸς Κύριον Θεὸν ὑμῶν, ὅτι ἡμάρτομεν τῷ Κυρίῳ Θεῷ ἡμῶν, καὶ οὐκ ἀπέστρεψεν ὁ θυμὸς Κυρίου καὶ ἡ ὀργὴ αὐτοῦ ἀφ' ἡμῶν, ἕως τῆς ἡμέρας ταύτης.

14. Καὶ ἀναγνώσεσθε τὸ βιβλίον τοῦτο, ὃ ἀπεστείλαμεν πρὸς ὑμᾶς, ἐξαγορεῦσαι ἐν οἴκῳ Κυρίου, ἐν ἡμέραις ἑορτῆς, καὶ ἐν ἡμέραις καιροῦ,

15. καὶ ἐρεῖτε· τῷ Κυρίῳ Θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ ἡ αἰσχύνη τῶν προσώπων ὡς ἡ ἡμέρα αὕτη, ἀνθρώπῳ Ἰούδα, καὶ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ,

16. καὶ τοῖς βασιλεῦσιν ἡμῶν, καὶ τοῖς ἄρχουσιν ἡμῶν, καὶ τοῖς ἱερεῦσιν ἡμῶν, καὶ τοῖς προφήταις ἡμῶν, καὶ τοῖς πατράσιν ἡμῶν,

17. ὧν ἡμάρτομεν ἐναντίον Κυρίου,

18. καὶ ἠπειθήσαμεν αὐτῷ, καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου Θεοῦ ἡμῶν, πορεύεσθαι ἐν τοῖς προστάγμασι Κυρίου, οἷς ἔδωκε κατὰ πρόσωπον ἡμῶν,

19. ἀπὸ τῆς ἡμέρας ἧς ἐξήγαγε Κύριος τοὺς πατέρας ἡμῶν ἐκ γῆς Αἰγύπτου, καὶ ἕως τῆς ἡμέρας ταύτης ἤμεθα ἀπειθοῦντες πρὸς Κύριον Θεὸν ἡμῶν, καὶ ἐσχεδιάσαμεν πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ.

20. Καὶ ἐκολλήθη εἰς ἡμᾶς τὰ κακὰ, καὶ ἡ ἀρὰ ἣν συνέταξε Κύριος τῷ Μωϋσῇ παιδὶ αὐτοῦ, ἐν ἡμέρᾳ ᾗ ἐξήγαγε τοὺς πατέρας ὑμῶν ἐκ γῆς Αἰγύπτου, δοῦναι ἡμῖν γῆν ῥέουσαν γάλα καὶ μέλι, ὡς ἡ ἡμέρα αὕτη. ταύτη

21. Καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου Θεοῦ ἡμῶν, κατὰ πάντας τοὺς λόγους τῶν προφητῶν, οὓς ἀπέστειλε πρὸς ἡμᾶς.

22. Καὶ ᾠχόμεθα ἕκαστος ἐν διανοίᾳ καρδίας ἡμῶν τῆς πονηρᾶς, ἐργάζεσθαι θεοῖς ἑτέροις, ποιῆσαι τὰ κακὰ κατ' ὀφθαλμοὺς Κυρίου Θεοῦ ἡμῶν.

## ΚΕΦ. Β' II.

ΚΑΙ ἔστησε Κύριος τὸν λόγον αὐτοῦ, ὃν ἐλάλησεν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τοὺς δικαστὰς ἡμῶν, τοὺς δικάσαντας τὸν Ἰσραὴλ, καὶ ἐπὶ τοὺς βασιλεῖς ἡμῶν, καὶ ἐπὶ τοὺς ἄρχοντας ἡμῶν, καὶ ἐπὶ ἄνθρωπον Ἰσραὴλ καὶ Ἰούδα,

2. τοῦ ἀγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα, ἃ οὐκ ἐποιήθη ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, καθὰ ἐποιήθη ἐν Ἱερουσαλὴμ, κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωϋσῆ,

3. τοῦ

v. 13. Κύριον Θεὸν ὑμῶν) κύριον τὸν θεὸν ἡμῶν. ibid. Κυρίῳ) τῷ κυρίῳ. v. 14. ἐν ἡμέραις ἑορτῆς) ἐν ἡμέρᾳ ἑορτῆς. v. 15. ἡ αἰσχύνη) absque articulo. v. 17. ἐναντίον) ἔναντι. v. 18. πορεύεσθαι ἐν τοῖς) ἐν deest. v. 19. ἐσχεδιάσαμεν) ἐσχεδιάζομεν. v. 20. εἰς ἡμᾶς) εἰς ὑμᾶς. ibid. Μωϋσῇ) τῷ μωϋσῇ. ib. πατέρας ὑμῶν) πατέρας ἡμῶν. ib. ἡμέρα ταύτη.) ἡμέρα αὕτη. v. 21. Κυρίου Θεοῦ) κυρίου τοῦ θεοῦ. ibid. οὓς) ὧν. v. 22. καρδίας ἡμῶν) καρδίας αὐτοῦ. CAP. II. v. 2. ἐποιήθη) ἐποίησεν, priore loco.

3. τοῦ φαγεῖν ἡμᾶς, ἄνθρωπον σάρκας υἱοῦ αὐτοῦ, καὶ ἄνθρωπον σάρκας θυγατρὸς αὐτοῦ.

4. Καὶ ἔδωκεν αὐτοὺς ὑποχειρίους πάσαις ταῖς βασιλείαις ταῖς κύκλῳ ἡμῶν, εἰς ὀνειδισμὸν, καὶ εἰς ἄϐατον ἐν πᾶσι τοῖς λαοῖς τοῖς κύκλῳ ἡμῶν, οὗ διέσπειρεν αὐτοὺς Κύριος ἐκεῖ.

5. Καὶ ἐγενήθησαν ὑποκάτω καὶ οὐκ ἐπάνω, ὅτι ἡμάρτομεν τῷ Κυρίῳ Θεῷ ἡμῶν, πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ.

6. Τῷ Κυρίῳ Θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ καὶ τοῖς πατράσιν ἡμῶν ἡ αἰσχύνη τῶν προσώπων, ὡς ἡ ἡμέρα αὕτη.

7. Ἃ ἐλάλησε Κύριος ἐφ᾽ ἡμᾶς, πάντα τὰ κακὰ ταῦτα (ἃ) ἦλθεν ἐφ᾽ ἡμᾶς,

8. καὶ οὐκ ἐδεήθημεν τοῦ προσώπου Κυρίου, τοῦ ἀποστρέψαι ἕκαστον ἀπὸ τῶν νοημάτων τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς.

9. Καὶ ἐγρηγόρησε Κύριος ἐπὶ τοῖς κακοῖς, καὶ ἐπήγαγε Κύριος ἐφ᾽ ἡμᾶς, ὅτι δίκαιος Κύριος ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ, ἃ ἐνετείλατο ἡμῖν.

10. Καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ, πορεύεσθαι τοῖς προστάγμασι Κυρίου, οἷς ἔδωκε κατὰ πρόσωπον ἡμῶν.

11. Καὶ νῦν, Κύριε ὁ Θεὸς Ἰσραὴλ, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου, ἐν χειρὶ κραταιᾷ, καὶ ἐν σημείοις, καὶ ἐν τέρασι, καὶ ἐν δυνάμει μεγάλῃ, καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα, ὡς ἡ ἡμέρα αὕτη,

12. ἡμάρτομεν, ἠσεβήσαμεν, ἠδικήσαμεν, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ πᾶσι τοῖς δικαιώμασί σου.

13. Ἀποστραφήτω δὴ ὁ θυμός σου ἀφ᾽ ἡμῶν, ὅτι κατελείφθημεν ὀλίγοι ἐν τοῖς ἔθνεσιν, οὗ διέσπειρας ἡμᾶς ἐκεῖ.

14. Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς ἡμῶν, καὶ τῆς δεήσεως ἡμῶν, καὶ ἔξελοῦ ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου, καὶ δὸς ἡμῖν χάριν κατὰ πρόσωπον τῶν ἀποικισάντων ἡμᾶς,

15. ἵνα γνῷ πᾶσα ἡ γῆ, ὅτι σὺ Κύριος ὁ Θεὸς ἡμῶν, ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ Ἰσραὴλ, καὶ ἐπὶ τὸ γένος αὐτοῦ.

16. Κύριε, κάτιδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου, καὶ ἐννόησον εἰς ἡμᾶς, κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ εἰσάκουσον.

17. Καὶ ἄνοιξον, Κύριε, τοὺς ὀφθαλμούς σου, καὶ ἴδε, ὅτι οὐχ οἱ τεθνεῶτες ἐν τῷ ᾅδῃ, ὧν ἐλήφθη τὸ πνεῦμα αὐτῶν ἀπὸ τῶν σπλάγχνων αὐτῶν, δώσουσι δόξαν καὶ δικαίωμα τῷ Κυρίῳ,

18. ἀλλ᾽ ἡ ψυχὴ ἡ λυπουμένη ἐπὶ τὸ μέγεθος, ὃ βαδίζει κύπτον καὶ ἀσθενοῦν,



v. 3. υἱῶν αὐτοῦ) υἱοῦ αὐτοῦ. v. 4. εἰς ἄβατον) ἄβατον. ibid. κύκλῳ ἡμῶν) ἡμῶν deest. v. 5. τῷ Κυρίῳ) absque articulo. v. 8. καρδίας αὐτοῦ) καρδίας αὐτῶν. v. 9. Κύριος) ὁ κύριος. v. 11. Κύριε ὁ Θεὸς) καὶ νῦν κύριε ὁ θεός. v. 13. Ἀποστραφήτω δὴ) δὴ abest. v. 14. ἕνεκεν τοῦ ὀνόματός σου) ἕνεκέν σου. v. 15. ἐπικέκληται) ἐπεκλήθη. v. 16. ἐννόησον ἡμᾶς) ἐννόησον εἰς ἡμᾶς. ibid. κλῖνον) καὶ κλῖνον. ib. εἰσάκουσον.) ἄκουσον. v. 17. Καὶ ἄνοιξον, κύριε, τοὺς ὀφθ.) ἄνοιξον ὀφθαλμούς. ib. τεθνεῶτες) τεθνηκότες. v. 18. ἀλλ᾽ ἡ) ἀλλὰ ἡ.

νοῦν, καὶ οἱ ὀφθαλμοὶ οἱ ἐκλείποντες, καὶ ἡ ψυχὴ ἡ πεινῶσα δώσουσι δόξαν σοι, καὶ δικαιοσύνην Κύριε.

19. Ὅτι οὐκ ἐπὶ τὰ δικαιώματα τῶν πατέρων ἡμῶν, καὶ τῶν βασιλέων ἡμῶν ἡμεῖς καταβάλλομεν τὸν ἔλεον ἡμῶν κατὰ πρόσωπόν σου, Κύριε, ὁ Θεὸς ἡμῶν,

20. ὅτι ἐνῆκας τὸν θυμόν σȣ καὶ τὴν ὀργήν σȣ ἐφ᾽ ἡμᾶς, καθάπερ ἐλάλησας ἐν χειρὶ τῶν παίδων σȣ τῶν προφητῶν, λέγων·

21. οὕτως εἶπε Κύριος· κλίνατε τὸν
ἐργάζεσθε ὦμον ὑμῶν καὶ ἐργάσασθε τῷ βασιλεῖ Βαβυλῶνος, καὶ καθίσατε ἐπὶ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν.

22. Καὶ ἐὰν μὴ ἀκȣσητε τῆς φωνῆς Κυρίου, ἐργάζεσθαι τῷ βασιλεῖ Βαβυλῶνος,

πόλεως 23. ἐκλείψειν ποιήσω ἐκ πόλεων Ἰȣδα
καὶ ἔξωθεν Ἱερȣσαλὴμ φωνὴν εὐφροσύνης, καὶ φωνὴν χαρμοσύνης, φωνὴν νυμφίȣ, καὶ φωνὴν νύμφης, καὶ ἔσαι πᾶσα ἡ γῆ εἰς ἄβατον ἀπὸ ἐνοικούντων.

24. Καὶ οὐκ ἠκȣσαμεν τῆς φωνῆς σου, ἐργάζεσθαι τῷ βασιλεῖ Βαβυλῶνος· καὶ ἔστησας τȣς λόγους σου, οὓς ἐλάλησας ἐν χερσὶ τῶν παίδων σου τῶν προφητῶν, τȣ ἐξενεχθῆναι τὰ ὀςᾶ τῶν βασιλέων ἡμῶν, καὶ τὰ ὀςᾶ τῶν ἀρχόντων ἡμῶν, καὶ τὰ ὀςᾶ τῶν πατέ-
αὐτȣ ρων ἡμῶν ἐκ τȣ τόπȣ αὐτῶν,

25. καὶ ἰδȣ εἰσιν ἐξερριμμένα τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτός· καὶ ἀπεθάνοσαν ἐν πόνοις πονηροῖς, ἐν λιμῷ, καὶ ἐν ῥομφαίᾳ, καὶ ἐν ἀποςολῇ.

26. Καὶ ἔθηκας τὸν οἶκόν σου, ȣ ἐπεκλήθη τὸ ὄνομά σου ἐπ᾽ αὐτῷ, ὡς ἡ ἡμέρα αὕτη, διὰ πονηρίαν οἴκȣ Ἰσραὴλ καὶ οἴκȣ Ἰȣδα.

27. Καὶ ἐποίησας εἰς ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, κατὰ πᾶσαν ἐπιείκειάν σου, καὶ κατὰ πάντα οἰκτιρμόν σου τὸν μέγαν,

28. καθὰ ἐλάλησας ἐν χειρὶ παιδός σου Μωσῆ, ἐν ἡμέρᾳ ἐντειλαμένȣ σȣ αὐτῷ γράψαι τὸν νόμον σου ἐνώπιον υἱῶν Ἰσραὴλ, λέγων·

29. ἐὰν μὴ ἀκούσητε τῆς φωνῆς μου, εἰ μὴν ἡ βόμβησις ἡ μεγάλη, καὶ ἡ
πολλὴ αὕτη ἀποςρέψει εἰς μικρὰν ἐν τοῖς μακρὰν
ἔθνεσιν, ȣ διασπερῶ αὐτȣς ἐκεῖ.

30. Ὅτι ἔγνων, ὅτι ȣ μὴ εἰσακȣσωσί μου, ὅτι λαὸς σκληροτράχηλός ἐςι· καὶ ἐπιςρέψουσιν ἐπὶ καρδίαν αὐτῶν ἐν γῇ ἀποικισμοῦ αὐτῶν,

31. καὶ γνώσονται, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς αὐτῶν· καὶ δώσω αὐτοῖς καρδίαν καὶ ὦτα ἀκȣοντα,

32. καὶ αἰνέσȣσί με ἐν γῇ ἀποικισμȣ αὐτῶν, καὶ μνησθήσονται τȣ ὀνόματός μȣ,

33. καὶ

v. 18. δώσουσι δόξαν σοι ) δώσȣσι σοι δόξαν. v. 19. ἔλεον ἡμῶν ) ἡμῶν deest. v. 20. ἐφ᾽ ἡμᾶς ) εἰς ἡμᾶς. ibid. λέγων ) abest. v. 21. καὶ ἐργάζεσθε ) ἐργάσασθαι. ibid. ἐπὶ τῆς γῆς, ἧς ἔδωκα ) ἐπὶ τὴν γῆν, ἣν δέδωκα. v. 22. ἐργάζεσθαι ) ἐργάσασθαι. v. 23. ἐκ πόλεως ) ἐκ πόλεων. v. 24. ἐργάζεσθαι ) ἐργάσασθαι. ibid. ὀςᾶ τῶν βασιλέων ) absque articulo. ib. καὶ τὰ ὀςᾶ τῶν ἀρχόντων ἡμῶν ) non habet. ib. ἐκ τȣ τόπου αὐτȣ ) ἐκ τȣ τόπου αὐτῶν. v. 25. καὶ ἰδού εἰσιν ἐξερριμμένα ) καὶ ἰδού ἐςιν ἐξερριμμένα. v. 26. οἶκόν σȣ, οὗ ) οἶκον, ȣ. v. 28. Μωσῆ ) μωϋσῆ. ibid. ἐνώπιον ) ἐναντίον. v. 29. καὶ ἡ πολλὴ ) καὶ deest. ibid. εἰς μακρὰν ) εἰς μικράν. v. 30. εἰσακούσωσί μȣ ) ἀκȣσωσί μου.

ἐπιςρέψουσιν 33. καὶ ἀποςρέψουσιν ἀπὸ νώτου [αὐτῶν τοῦ σκληροῦ, καὶ ἀπὸ τῶν πονηρῶν πραγμάτων αὐτῶν, ὅτι μνησθήσονται
ἁμαρτανόντων τῆς ὁδοῦ πατέρων αὐτῶν τῶν ἁμαρτόντων ἔναντι Κυρίου.

34. Καὶ ἀποςρέψω αὐτοὺς εἰς τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, τῷ Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰακὼβ, καὶ κυριεύσουσιν αὐτῆς· καὶ πληθυνῶ αὐτοὺς, καὶ οὐ μὴ σμικρυνθῶσι.

35. Καὶ ςήσω αὐτοῖς διαθήκην αἰώνιον, τοῦ εἶναί με αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν· καὶ οὐ κινήσω ἔτι τὸν λαόν μου Ἰσραὴλ ἀπὸ τῆς γῆς, ἧς ἔδωκα αὐτοῖς.

## ΚΕΦ. Γ΄. III.

Κύριε παντοκράτωρ ὁ Θεὸς Ἰσραὴλ, ψυχὴ ἐν ςενοῖς, καὶ πνεῦμα ἀκηδιῶν ἐκέκραξε πρὸς σὲ,

2. ἄκουσον, Κύριε, καὶ ἐλέησον, ὅτι Θεὸς ἐλεήμων εἶ· καὶ ἐλέησον, ὅτι ἡμάρτομεν ἐναντίον σου,

3. ὅτι σὺ καθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα.

4. Κύριε, παντοκράτωρ ὁ Θεὸς Ἰσραὴλ, ἄκουσον δὴ τῆς προσευχῆς τῶν τεθνηκότων Ἰσραὴλ, καὶ υἱῶν τῶν ἁμαρτανόντων ἐναντίον σου, οἳ οὐκ ἤκουσαν τῆς φωνῆς σου Θεοῦ αὐτῶν, καὶ προσεκολλήθη ἡμῖν [τὰ κακά.

5. Μὴ μνησθῇς ἀδικιῶν πατέρων ἡμῶν, ἀλλὰ μνήσθητι χειρός σου καὶ ὀνόματός σου ἐν τῷ καιρῷ τούτῳ,

6. ὅτι σὺ Κύριος ὁ Θεὸς ἡμῶν, καὶ αἰνέσομέν σε, Κύριε,

7. ὅτι διὰ τοῦτο ἔδωκας τὸν φόβον σου ἐπὶ καρδίαν ἡμῶν, τοῦ ἐπικαλεῖσθαι τὸ ὄνομά σου· καὶ αἰνέσομέν σε ἐν τῇ ἀποικίᾳ ἡμῶν, ὅτι ἀπεςρέψαμεν ἀπὸ [ἐπὶ καρδίαν
καρδίας ἡμῶν πᾶσαν ἀδικίαν πατέρων ἡμῶν, τῶν ἡμαρτηκότων ἐναντίον σου.]

8. Ἰδοὺ ἡμεῖς σήμερον ἐν τῇ ἀποικίᾳ ἡμῶν, οὗ διέσπειρας ἡμᾶς ἐκεῖ εἰς ὀνειδισμὸν, καὶ εἰς ἀρὰν, καὶ εἰς ὄφλησιν κατὰ πάσας τὰς ἀδικίας πατέρων ἡμῶν, οἳ ἀπέςησαν ἀπὸ Κυρίου Θεοῦ ἡμῶν.

9. Ἄκουε, Ἰσραὴλ, ἐντολὰς ζωῆς, ἐνωτίσασθε γνῶναι φρόνησιν.

10. Τί ἐςιν Ἰσραήλ; τί ὅτι ἐν τῇ γῇ τῶν ἐχθρῶν εἶ; ἐπαλαιώθης ἐν γῇ ἀλλοτρίᾳ, συνεμιάνθης τοῖς νεκροῖς,

11. προσελογίσθης μετὰ τῶν εἰς ᾅδου,

12. ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας,

13. τῇ ὁδῷ τοῦ Θεοῦ εἰ ἐπορεύθης, κατῴκεις ἂν ἐν εἰρήνῃ τὸν αἰῶνα χρόνον.

14. Μάθε ποῦ ἐςι φρόνησις, ποῦ ἐςιν ἰσχὺς, ποῦ ἐςι σύνεσις, τοῦ γνῶναι ἅμα ποῦ ἐςι μακροβίωσις καὶ ζωὴ, ποῦ ἐςι φῶς ὀφθαλμῶν καὶ εἰρήνη.



v. 33. ἐπιςρέψουσιν ἀπὸ νώτου) ἀποςρέψουσιν ἀπὸ τοῦ νώτου. ibid. ἀπὸ τῶν πονηρῶν πραγμάτων) ἀπὸ πονηρῶν προςαγμάτων. ib. ἁμαρτανόντων) ἁμαρτόντων. CAP. III. v. 1. ἐκέκραξε) κέκραγε. v. 2. ὅτι Θεὸς ἐλεήμων εἶ· καὶ ἐλέησον) non habet. v. 4. φωνῆς Θεοῦ) φωνῆς σου Θεοῦ. ibid. προσεκολλήθη) ἐκολλήθη. v. 7. τοῦ ἐπικαλεῖσθαι) καὶ ἐπικαλεῖσθαι. ibid. ἐπὶ καρδίαν) ἀπὸ καρδίας. v. 8. πάσας ἀδικίας) πάσας τὰς ἀδικίας. v. 10. ὅτι ἐν τῇ γῇ τῶν) τί ὅτι ἐν γῇ τῶν. v. 13. χρόνον.) deest.

15. Τίς εὗρε τὸν τόπον αὐτῆς, καὶ τίς εἰσῆλθεν εἰς τοὺς θησαυροὺς αὐτῆς;

16. Ποῦ εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν, καὶ οἱ κυριεύοντες τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς,

17. οἱ ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες, καὶ τὸ ἀργύριον θησαυρίζοντες, καὶ τὸ χρυσίον ᾧ ἐπεποίθεισαν ἄνθρωποι, καὶ οὐκ ἔστι τέλος τῆς κτήσεως αὐτῶν;

18. Ὅτι οἱ τὸ ἀργύριον τεκταίνοντες καὶ μεριμνῶντες, καὶ οὐκ ἔστιν ἐξεύρεσις τῶν ἔργων αὐτῶν.

19. Ἠφανίσθησαν, καὶ εἰς ᾅδου κατέβησαν, καὶ ἄλλοι ἀντανέστησαν ἀντ' αὐτῶν.

20. Νεώτεροι ἴδον φῶς, καὶ κατῴκησαν ἐπὶ τῆς γῆς, ὁδὸν δὲ ἐπιστήμης οὐκ ἔγνωσαν,

21. οὐδὲ συνῆκαν τρίβους αὐτῆς, οὐδὲ ἀντελάβοντο αὐτῆς οἱ υἱοὶ αὐτῶν, ἀπὸ τῆς ὁδοῦ αὐτῶν πόῤῥω ἐγενήθησαν,

22. οὐδὲ ἠκούσθη ἐν Χαναὰν, οὐδὲ ὤφθη ἐν Θαιμάν·

23. οὔτε υἱοὶ Ἄγαρ οἱ ἐκζητοῦντες τὴν σύνεσιν οἱ ἐπὶ τῆς γῆς, οἱ ἔμποροι τῆς Μεῤῥὰν, καὶ Θαιμὰν, καὶ οἱ μυθολόγοι, καὶ οἱ ἐκζητηταὶ τῆς συνέσεως ὁδὸν τῆς σοφίας οὐκ ἔγνωσαν, οὐδὲ ἐμνήσθησαν τὰς τρίβους αὐτῆς.

24. Ὦ Ἰσραὴλ, ὡς μέγας ὁ οἶκος τοῦ Θεοῦ; καὶ ἐπιμήκης ὁ τόπος τῆς κτήσεως αὐτοῦ;

25. Μέγας, καὶ οὐχ ἔχει τελευτὴν, ὑψηλὸς καὶ ἀμέτρητος.

26. Ἐκεῖ ἐγενήθησαν οἱ γίγαντες οἱ ὀνομαστοὶ οἱ ἀπ' ἀρχῆς γενόμενοι εὐμεγέθεις, ἐπιστάμενοι πόλεμον.

27. Οὐ τούτους ἐξελέξατο ὁ Θεὸς, οὐδὲ ὁδὸν ἐπιστήμης ἔδωκεν αὐτοῖς,

28. καὶ ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν φρόνησιν, ἀπώλοντο διὰ τὴν ἀβουλίαν αὐτῶν.

29. Τίς ἀνέβη εἰς τὸν οὐρανὸν, καὶ ἔλαβεν αὐτὴν, καὶ κατεβίβασεν αὐτὴν ἐκ τῶν νεφελῶν;

30. Τίς διέβη πέραν τῆς θαλάσσης, καὶ εὗρεν αὐτὴν, καὶ οἴσει αὐτὴν χρυσίου ἐκλεκτοῦ;

31. Οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς, οὐδὲ ὁ ἐνθυμούμενος τὴν τρίβον αὐτῆς.

32. Ἀλλ' ὁ εἰδὼς τὰ πάντα γινώσκει αὐτὴν, ἐξεῦρεν αὐτὴν τῇ συνέσει αὐτοῦ· ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον, καὶ ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων.

33. Ὁ ἀποστέλλων τὸ φῶς· καὶ πορεύεται, ἐκάλεσεν αὐτὸ, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ.

34. Οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν, καὶ εὐφράνθησαν.

35. Ἐκάλεσεν αὐτοὺς, καὶ εἶπον· πάρεσμεν, καὶ ἔλαμψαν μετ' εὐφροσύνης τῷ ποιήσαντι αὐτούς.

36. Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν.

37. Ἐξεῦ-

v. 19. ἀντανέστησαν ) ἀνέστησαν. v. 23. οὔτε υἱοὶ ) οἵ τε υἱοί. ibid. ὁδὸν τῆς σοφίας ) ὁδὸν δὲ σοφίας. v. 25. οὐχ ἔχει ) οὐκ ἔχει. v. 26. ἐγενήθησαν ) ἐγεννήθησαν. ibid. οἱ ἀπ' ἀρχῆς ) ἀπ' ἀρχῆς. v. 32. καὶ ἐνέπλησεν ) καὶ abest. v. 35. καὶ ἔλαμψαν ) καὶ deest.

37. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ αὐτοῦ,

38. μετὰ τοῦτο ἐπὶ γῆς ὤφθη, καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη.

## ΚΕΦ. Δ'. IV.

ΑΥΤΗ ἡ βίβλος τῶν προσταγμάτων τοῦ Θεοῦ, καὶ ὁ νόμος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα· πάντες οἱ κρατοῦντες αὐτῆς, εἰς ζωήν· οἱ δὲ καταλείποντες αὐτὴν, ἀποθανοῦνται.

2. Ἐπιστρέφου Ἰακὼβ, καὶ ἐπιλαβοῦ αὐτῆς, διόδευσον πρὸς τὴν λάμψιν κατέναντι τοῦ φωτὸς αὐτῆς.

3. Μὴ δῷς ἑτέρῳ τὴν δόξαν σου, καὶ τὰ συμφέροντά σοι ἔθνει ἀλλοτρίῳ.

4. Μακάριοι ἐσμὲν Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ τῷ Θεῷ ἡμῖν γνωστά ἐστιν.

5. Θαρσεῖτε, λαός μου, μνημόσυνον Ἰσραήλ.

6. Ἐπράθητε τοῖς ἔθνεσιν οὐκ εἰς ἀπώλειαν, διὰ δὲ τὸ παροργίσαι ὑμᾶς τὸν Θεόν· παρεδόθητε τοῖς ὑπεναντίοις,

7. παρωξύνατε γὰρ τὸν ποιήσαντα ὑμᾶς, θύσαντες δαιμονίοις, καὶ οὐ Θεῷ.

8. Ἐπελάθεσθε δὲ τὸν τροφεύσαντα ὑμᾶς Θεὸν αἰώνιον, ἐλυπήσατε δὲ καὶ τὴν ἐκθρέψασαν ὑμᾶς Ἱερουσαλήμ.

9. Ἴδε γὰρ τὴν ἐπελθοῦσαν ὑμῖν ὀργὴν παρὰ τοῦ Θεοῦ, καὶ εἶπεν· ἀκούσατε αἱ πάροικοι Σιὼν, ἐπήγαγε γάρ μοι ὁ Θεὸς πένθος μέγα·

10. ἴδον γὰρ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ τῶν υἱῶν μου καὶ τῶν θυγατέρων, ἣν ἐπήγαγεν αὐτοῖς ὁ αἰώνιος,

11. ἔθρεψα γὰρ αὐτοὺς μετ' εὐφροσύνης, ἐξαπέστειλα δὲ μετὰ κλαυθμοῦ καὶ πένθους.

12. Μηδεὶς ἐπιχαιρέτω μοι τῇ χήρᾳ, καὶ καταλειφθείσῃ ὑπὸ πολλῶν, ἠρημώθην διὰ τὰς ἁμαρτίας τῶν τέκνων μου, διότι ἐξέκλιναν ἐκ νόμου Θεοῦ,

13. δικαιώματα δὲ αὐτοῦ οὐκ ἔγνωσαν, ἐφύλαξαν
οὐδὲ ἐπορεύθησαν ὁδοῖς ἐντολῶν Θεοῦ,
οὐδὲ τρίβους παιδείας ἐν δικαιοσύνῃ αὐτοῦ ἐπέβησαν.

14. Ἐλθάτωσαν αἱ πάροικοι Σιὼν, καὶ μνήσθητε τὴν αἰχμαλωσίαν τῶν υἱῶν μου καὶ τῶν θυγατέρων, ἣν ἐπήγαγεν αὐτοῖς ὁ αἰώνος,

15. ἐπήγαγε γὰρ ἐπ' αὐτοὺς ὁ Θεὸς ἔθνος μακρόθεν, ἔθνος ἀναιδὲς καὶ ἀλλόγλωσσον· οἳ οὐκ ᾐσχύνθησαν πρεσβύτην, οὐδὲ παιδίον ἠλέησαν,

16. καὶ ἀπήγαγον τοὺς ἀγαπητοὺς τῆς ἤγαγον
χήρας, καὶ ἀπὸ τῶν θυγατέρων τὴν μονογενῆ ἠρήμωσαν.

17. Ἐγὼ δὲ τί δύναμαι βοηθῆσαι ὑμῖν;



v. 37. ἠγαπημένῳ αὐτοῦ) ἠγαπημένῳ ὑπ' αὐτοῦ. v. 38. ἐπὶ γῆς ὤφθη) ἐπὶ τῆς γῆς ὤφθη. CAP. IV. v. 3. ἀρεστὰ τῷ Θεῷ) ἀρεστὰ τοῦ θεοῦ. v. 6. διὰ δὲ τὸ) διὰ τό. v. 8. Ἐπελάθεσθε δὲ) δὲ deest. v. 9. Ἴδε τὴν) ἴδε γὰρ τὴν. ibid. ἐπήγαγε γάρ μοι) γὰρ deest. v. 10. τοῦ λαοῦ) non habet. v. 13. δικαιώματα δὲ αὐτοῦ οὐκ ἐφύλαξαν) καὶ δικαιώματα αὐτοῦ οὐκ ἔγνωσαν. v. 14. Ἐλθάτωσαν) ἐλθέτωσαν. ibid. καὶ τῶν θυγατέρων) absque articulo. ib. ὁ αἰώνος) ὁ αἰώνιος. v. 15. ὁ Θεὸς ἔθνος) ἔθνος. ibid. οἳ οὐκ) ὅτι οὐκ. v. 16. ἤγαγον) ἀπήγαγον. ibid. μονογενῆ) μονήν. v. 17. δύναμαι) δυνατή.

18. Ὁ γὰρ ἐπαγαγὼν τὰ κακὰ ὑμῖν ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς ἐχθρῶν ὑμῶν.

19. Βαδίζετε, τέκνα, βαδίζετε, ἐγὼ γὰρ κατελείφθην ἔρημος,

20. ἐξεδυσάμην τὴν στολὴν τῆς εἰρήνης, καὶ ἐνεδυσάμην σάκκον τῆς δεήσεώς μου· κεκράξομαι πρὸς τὸν αἰώνιον ὕψιστον ἐν ταῖς ἡμέραις μου,

21. θαρσεῖτε, τέκνα, καὶ βοήσατε πρὸς τὸν Θεὸν, καὶ ἐξελεῖται ὑμᾶς ἐκ δυναστείας, ἐκ χειρὸς ἐχθρῶν ὑμῶν.

22. Ἐγὼ γὰρ ἐπὶ τῷ αἰωνίῳ ἤλπισα τὴν σωτηρίαν ὑμῶν· καὶ ἦλθέ μοι χαρὰ παρὰ τοῦ ἁγίου ἐπὶ τῇ ἐλεημοσύνῃ, ᾗ ἥξει ὑμῖν ἐν τάχει παρὰ τοῦ αἰωνίου σωτῆρος ὑμῶν.

23. Ἐξέπεμψα γὰρ ὑμᾶς μετὰ πένθους καὶ κλαυθμοῦ, ἀποδώσει δέ μοι ὁ Θεὸς ὑμᾶς μετὰ χαρμοσύνης καὶ εὐφροσύνης εἰς τὸν αἰῶνα.

24. Ὥσπερ γὰρ νῦν ἑωράκασιν αἱ πάροικοι Σιὼν τὴν ὑμετέραν αἰχμαλωσίαν, οὕτως ὄψονται ἐν τάχει τὴν παρὰ τοῦ Θεοῦ ὑμῶν σωτηρίαν, ἣ ἐπελεύσεται ὑμῖν μετὰ δόξης μεγάλης καὶ λαμπρότητος τοῦ αἰωνίου.

25. Τέκνα, μακροθυμήσατε τὴν παρὰ τοῦ Θεοῦ ἐπελθοῦσαν ὑμῖν ὀργὴν, κατεδίωξε γάρ σε ὁ ἐχθρός σου, καὶ ὄψη αὐτοῦ τὴν ἀπώλειαν ἐν τάχει, καὶ ἐπὶ τοὺς τραχήλους αὐτῶν ἐπιβήσῃ.

26. Οἱ τρυφεροί μου ἐπορεύθησαν ὁδοὺς τραχείας, ἤρθησαν ὡς ποίμνιον ἡρπασμένον ὑπὸ ἐχθρῶν. ἀπὸ

27. Θαρσήσατε, τέκνα, καὶ βοήσατε πρὸς τὸν Θεὸν, ἔσται γὰρ ὑμῶν ὑπὸ τοῦ ἐπάγοντος μνεία.

28. Ὥσπερ γὰρ ἐγένετο ἡ διάνοια ὑμῶν εἰς τὸ πλανηθῆναι ὑμᾶς ἀπὸ τοῦ Θεοῦ, οὕτω νῦν δεκαπλασιάσατε ἐπιστραφέντες ζητῆσαι αὐτόν.

29. Ὁ γὰρ ἐπαγαγὼν ὑμῖν τὰ κακὰ, ἐπάξει ὑμῖν τὴν αἰώνιον εὐφροσύνην μετὰ τῆς σωτηρίας ὑμῶν.

30. Θάρσει Ἱερουσαλὴμ, παρακαλεῖ σε ὁ ὀνομάσας σε.

31. Δείλαιοι οἱ σὲ κακώσαντες καὶ ἐπιχαρέντες τῇ σῇ πτώσει, ἐπιχάραντες

32. δείλαιαι αἱ πόλεις, αἷς ἐδούλευσαν τὰ τέκνα σου, δειλαία ἡ δεξαμένη τοὺς υἱούς σου.

33. Ὥσπερ γὰρ ἐχάρη ἐπὶ τῇ σῇ πτώσει, καὶ ηὐφράνθη ἐπὶ πτώματί σου, οὕτως λυπηθήσεται ἐπὶ τῇ ἑαυτῆς ἐρημίᾳ.

34. Καὶ περιελῶ αὐτῆς τὸ ἀγαλλίαμα ἄγαλμα τῆς πολυοχλίας, καὶ τὸ ἀγαυρίαμα αὐτῆς ἔσται εἰς πένθος.

35. Πῦρ

v. 18. τὰ κακὰ ὑμῖν) ὑμῖν deest. v. 20. καὶ ἐνεδυσάμην) ἐνεδυσάμην δέ. ibid. ὕψιστον) abest. v. 10. θαρσεῖτε, τέκνα, καὶ βοήσατε) θαῤῥεῖτε τέκνα, βοήσατε. ibid. ἐξελεῖται ὑμᾶς) adjicit ἐκ δυναστείας. ib. ἐχθρῶν ὑμῶν.) ὑμῶν deest. v. 22. ἐπὶ τῷ αἰωνίῳ ἤλπισα) transposita. ibid. τοῦ ἁγίου) adjicit ἐπὶ τῇ ἐλεημοσύνῃ. v. 23. πένθους καὶ κλαυθμοῦ) transposita. v. 25. κατεδίωξε γάρ σε ὁ ἐχθρός σου, καὶ ὄψη) κατεδίωξέ σε ὁ ἐχθρὸς, καὶ ὄψει. ibid. ἐπὶ τοὺς τραχήλους) absque articulo. v. 26. ἀπὸ ἐχθρῶν.) ὑπὸ ἐχθρῶν. v. 28. πλανηθῆναι ὑμᾶς) ὑμᾶς deest. ibid. οὕτω νῦν) abest. v. 30. παρακαλεῖ) παρακαλέσει. v. 31. ἐπιχάραντες) ἐπιχαρέντες. v. 33. ηὐφράνθη ἐπὶ πτώματί σου) εὐφράνθη ἐπὶ τῷ πτώματί σου. v. 34. ἄγαλμα) ἀγαλλίαμα. ibid. αὐτῆς ἔσται εἰς) ἔσται deest.

35. Πῦρ γὰρ ἐπελεύσεται αὐτῇ παρὰ τοῦ αἰωνίου εἰς ἡμέρας μακρὰς, καὶ κατοικηθήσεται ὑπὸ δαιμονίων τὸν πλείονα χρόνον.

36. Περίβλεψαι πρὸς ἀνατολὰς, Ἱερουσαλὴμ, καὶ ἴδε τὴν εὐφροσύνην τὴν παρὰ τοῦ Θεοῦ σοι ἐπερχομένην.

37. Ἰδοὺ ἔρχονται οἱ υἱοί σου, οὓς ἐξαπέστειλας, συνηγμένοι ἔρχονται ἀπὸ ἀνατολῆς ἕως δυσμῶν τῷ ῥήματι τοῦ ἁγίου, χαίροντες τῇ τοῦ Θεοῦ δόξῃ.

## ΚΕΦ. Ε΄. V.

Ἔκδυσαι, Ἱερουσαλὴμ, τὴν στολὴν τοῦ πένθους καὶ τῆς κακώσεώς σου, καὶ ἔνδυσαι τὴν εὐπρέπειαν τῆς παρὰ τοῦ Θεοῦ σοι δόξης εἰς τὸν αἰῶνα.

2. Περιβαλοῦ τὴν διπλοΐδα τῆς παρὰ τοῦ Θεοῦ δικαιοσύνης, ἐπίθου τὴν μίτραν ἐπὶ τὴν κεφαλήν σου τῆς δόξης τοῦ αἰωνίου. ἁγίου

3. Ὁ γὰρ Θεὸς δείξει τῇ ὑπ' οὐρανὸν πάσῃ τὴν σὴν λαμπρότητα. δείξῃ

4. Κληθήσεται γάρ σου τὸ ὄνομα παρὰ τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, εἰρήνη δικαιοσύνης, καὶ δόξα θεοσεβείας.

5. Ἀνάστηθι, Ἱερουσαλὴμ, καὶ στῆθι ἐπὶ τοῦ ὑψηλοῦ, καὶ περίβλεψαι πρὸς ἀνατολὰς, καὶ ἴδε σου συνηγμένα τὰ τέκνα ἀπὸ ἡλίου δυσμῶν καὶ ἕως ἀνατολῶν τῷ ῥήματι τοῦ ἁγίου, χαίροντας τῇ τοῦ Θεοῦ μνείᾳ. χαίροντες

6. Ἐξῆλθον γὰρ παρὰ σοῦ πεζοὶ ἀγόμενοι ὑπὸ ἐχθρῶν, εἰσάγει δὲ αὐτοὺς ὁ Θεὸς πρὸς σὲ αἰρομένους μετὰ δόξης ὡς θρόνον βασιλείας. υἱοὺς

7. Συνέταξε γὰρ ὁ Θεὸς ταπεινοῦσθαι πᾶν ὄρος ὑψηλὸν, καὶ θῖνας ἀεννάους, καὶ φάραγγας πληροῦσθαι εἰς ὁμαλισμὸν τῆς γῆς, ἵνα βαδίσῃ Ἰσραὴλ ἀσφαλῶς τῇ τοῦ Θεοῦ δόξῃ.

8. Ἐσκίασαν δὲ καὶ οἱ δρυμοὶ καὶ πᾶν ξύλον εὐωδίας τῷ Ἰσραὴλ προστάγματι τοῦ Θεοῦ.

9. Ἡγήσεται γὰρ ὁ Θεὸς Ἰσραὴλ μετ' εὐφροσύνης τῷ φωτὶ τῆς δόξης αὐτοῦ σὺν ἐλεημοσύνῃ καὶ τῇ παρὰ τοῦ Θεοῦ δικαιοσύνῃ.

## ΒΑΡΟΥΧ.

V. 36. περίβλεψαι) περίβλεψον. ibid. ἐπερχομένην.) ἐρχομένην. V. 37. συνηγμένοι ἔρχονται) transposita. ibid. ἀπὸ ἀνατολῆς) ἀπὸ ἀνατολῶν. CAP. V. v. 1. πένθους κακώσεώς σου) πένθους καὶ τῆς κακώσεώς σου. ibid. Θεοῦ σοι δόξης) Θεοῦ δόξης. V. 2. τοῦ ἁγίου) τοῦ αἰωνίου. V. 3. δείξῃ) δείξει. V. 5. ἴδε σου συνηγμένα τὰ τέκνα ἀπὸ) ἴδε συνηγμένα τὰ τέκνα σου ἀπὸ. ibid. καὶ ἕως ἀνατολῶν) καὶ deest. ib. χαίροντες) χαίροντας. V. 6. μετὰ δόξης υἱοὺς) μετὰ δόξης ὡς θρόνον. V. 9. καὶ τῇ παρὰ τοῦ Θεοῦ δικαιοσύνῃ.) καὶ δικαιοσύνῃ τῇ παρ' αὐτοῦ. ΒΑΡΟΥΧ) deest.